THE

NEW TESTAMENT

In GREEK and ENGLISH.

Containing the

ORIGINAL TEXT

Corrected from the AUTHORITY of the moſt *Authentic Manuſcripts:*

AND A

NEW VERSION

Form'd agreeably to the ILLUSTRATIONS of the moſt Learned *Commentators* and *Critics:*

WITH

NOTES and VARIOUS READINGS,

AND

A COPIOUS ALPHABETICAL INDEX.

VOLUME the SECOND.

May every part of you, your *Spirit*, *Soul*, and *Body* be preſerv'd irreproveable. St. Paul.

In Him we *live*, are *moved*, and do *exiſt*. *Id.*

Hæc tractanti animo, & noctes & dies cogitanti, exſiſtit illa à Deo Delphis præcepta cognitio, *ut Ipſa ſe Mens agnoſcat*, conjunctamque cum divina mente ſe ſentiat: ex quo inſatiabili gaudio completur. M. T. Cicero *Tuſc. Quæſt.*

LONDON:

Printed for J. ROBERTS, near the *Oxford-Arms* in *Warwick-Lane*. M.DCC.XXIX.

MVSEVM
BRITAN
NICVM

ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ Η ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗ.

THE EPISTLE OF PAUL the Apoſtle To the ROMANS.

1 ΠΑΥΛΟΣ, δουλος Ιησου Χριστου, κλητος αποστολος, αφωρισ-
2 μενος εις ευαγγελιον Θεου, ὁ προεπηγγειλατο δια των προφητων αὐτου εν γραφαις ἁγιαις,
3 περι του υἱου αὐτου, του γενομενου εκ σπερματος Δαβιδ
4 κατα σαρκα, του ὁρισθεντος υἱου Θεου εν δυναμει, κατα πνευμα ἁγιωσυνης, ἐξ αναστασεως νεκρων Ιησου Χριστου
5 του Κυριου ἡμων, δι' ου ελαβομεν χαριν και αποστολην εις ὑπακοην πιστεως εν πασι τοις εθνεσιν, ὑπερ του ονοματος αὐτου, εν οἱς εστε και ὑμεις, κλητοι Ιησου Χριστου,
7 πασι τοις ουσιν εν Ρωμῃ, ἀγαπητοις Θεου, κλητοις, ἁγιοις, χαρις ὑμιν και ειρηνη απο Θεου πατρος ἡμων, και Κυριου Ιησου Χριστου.

1 *PAUL, a ſervant of Jeſus Chriſt, called to be an apoſtle, choſen to declare* 1
the goſpel diſpenſation, which 2
God had promiſed by his prophets in the holy ſcriptures,
with relation to his ſon Jeſus 3
Chriſt our Lord, who was of the lineage of David as to his
body, but as to his holy ſpirit 4
miraculouſly declared to be the ſon of God, by his reſurrection from the dead: by 5
whoſe favour I have received the office of an apoſtle to bring the Gentiles every where to the obedience of faith preached in his name: among whom Jeſus 6
Chriſt has alſo called you: to all 7
the beloved of God, the ſaints by this vocation, who are in Rome, grace to you, and peace from God our father, and from the Lord Jeſus Chriſt.

8 Πρωτον μεν ευχαριστω τῳ Θεῳ μου δια Ιησου Χριστου

Firſt, I thank my God 8
through Jeſus Chriſt for you

περι παντων υμων, οτι η πιστις υμων καταγγελλεται εν ολω τω κοσμω. 9 μαρτυς γαρ μοι εστιν ο Θεος, ω λατρευω εν τω πνευματι μου, εν τω ευαγγελιω του υιου αυτου, ως αδιαλειπτως μνειαν υμων ποιουμαι, 10 παντοτε επι των προσευχων μου δεομενος, ειπως ηδη ποτε ευοδωθησομαι εν τω θεληματι του Θεου, ελθειν προς υμας. 11 επιποθω γαρ ιδειν υμας, ινα τι μεταδω χαρισμα υμιν πνευματικον, εις το στηριχθηναι υμας: 12 τουτεστι, συμπαρακληθηναι εν υμιν δια της εν αλληλοις πιστεως, υμων τε και εμου. 13 ου θελω δε υμας αγνοειν, αδελφοι, οτι πολλακις προεθεμην ελθειν προς υμας, και εκωλυθην αχρι του δευρο, ινα καρπον τινα σχω και εν υμιν, καθως και εν τοις λοιποις εθνεσιν. 14 ελλησι τε και βαρβαροις, σοφοις τε και ανοητοις οφειλετης ειμι, 15 ουτω το κατ' εμε προθυμον και υμιν τοις εν Ρωμη ευαγγελισασθαι. 16 ου γαρ επαισχυνομαι το ευαγγελιον, δυναμις γαρ Θεου εστιν εις σωτηριαν παντι τω πιστευοντι, Ιουδαιω τε πρωτον και Ελληνι.

all, that your faith is celebrated through the whole world. for God is my witneſs, to 9
whom I am entirely devoted, in preaching the goſpel of his ſon, that I conſtantly make mention of you, in my prayers, requeſting, if it be God's will, 10
that I might now at length have the happineſs of coming to you. for I long to ſee you, 11
that I may impart to you ſome ſpiritual gift, in order to eſtabliſh you: or indeed that we 12
may have mutual conſolation from the faith which is in common to you and to me. now I 13
would not have you ignorant, my brethren, that I often purpoſed to come to you, tho' I have been hindered hitherto, that I might be uſeful among you as well as among other Gentiles. I owe what ſer- 14
vice I can do to the Greeks, and to the Barbarians, to the learned, and to the illiterate. ſo, that as far as it depends 15
upon me, I am ready to preach the goſpel to you alſo, who are at Rome. for I am not a- 16
ſhamed of the goſpel, ſince it is divinely effectual to ſalvation, to every one that believes, to the Jew firſt, and then to the Gentile.

17 Δικαιοσυνη γαρ Θεου εν αυτω αποκαλυπτεται εκ πιστεως εις πιστιν, καθως γεγραπται,

There it is that divine juſ- 17
tification is revealed to be wholly by faith: as it is writ-

γραπται, "ὁ δε δικαιος εκ
18 "πιστεως ζησεται." αποκαλυπτεται γαρ οργη Θεου απ' ουρανου επι πασαν ασεβειαν και αδικιαν ανθρωπων των την αληθειαν εν αδικια
19 κατεχοντων, διοτι το γνωστον του Θεου, φανερον εστιν εν αυτοις, ὁ γαρ Θεος αυτοις
20 εφανερωσε. τα γαρ αορατα αυτου απο κτισεως κοσμου, τοις ποιημασι νοουμενα καθορατα, ἥτε αιδιος αυτου δυναμις και θειοτης, εις το ειναι
21 αυτους αναπολογητους: διοτι γνοντες του Θεον, ουχ ὡς Θεον εδοξασαν, ἡ ηυχαριστησαν, αλλ' εματαιωθησαν εν τοις διαλογισμοις αὐτων, και εσκοτισθη ἡ ασυνετος αυτων
22 καρδια. φασκοντες ειναι σο-
23 φοι, εμωρανθωσαν, και ηλλαξαν την δοξαν του αφθαρτου Θεου εν ὁμοιωματι εικονος φθαρτου ανθρωπου, και πετεινων και τετραποδων και
24 ἑρπετων. διο παρεδωκεν αυτους ὁ Θεος εν ταις επιθυμιαις των καρδιων αυτων εις ακαθαρσιαν, του ατιμαζεσθαι τα σωματα αυτων εν ἑαυ-
25 τοις, οἱ τινες μετηλλαξαν την αληθειαν του Θεου εν τῳ ψευδει, και εσεβασθησαν και ελατρευσαν τῃ κτισει παρα τον κτισαντα, ὁς εστιν ευλογητος εις τους αιωνας. α-
26 μην. δια τουτο παρεδωκεν αυτους ὁ Θεος εις παθη ατιμιας,

written, "* the just shall
"live by faith." there the di- 18
vine wrath is revealed from heaven against all impiety, and injustice of men, who wickedly suppress the truth. because what should be known 19
of God they are acquainted with; for God hath manifested it unto them. for ever 20
since the creation of the world, his eternal power and divinity, things in themselves invisible, are clearly seen, being perceived by the things that are made; so that they are without excuse: because when 21
they knew God, they did not with gratitude glorify him as God, but their reasoning became extravagance, and their minds, void of judgment, were involv'd in darkness. pre- 22
tending to be wise, they became fools: the honour due to 23
God, who is immortal, they transferr'd to idols representing men, who are mortal, to birds, and beasts, and insects. where- 24
fore God abandon'd them to the impure passions of their own hearts, so that they themselves dishonour'd their own bodies; they changed the true 25
God for an idol, and adored and served the creature more than the creator, who is blessed for ever. amen. for 26
this cause God gave them up

* Hab. ii. 4.

μιας, αἴτε γαρ θελειαι αυτων μετηλλαξαν την φυσικην χρησιν εις την παρα φυσιν.
27 ὁμοιως δε και οἱ αρρενες αφεντες την φυσικην χρησιν της θηλειας, ἐξεκαυθησαν εν τῃ ορεξει αὐτων εις αλληλους, αρρενες εν αρρεσιν την ασχημοσυνην κατεργαζομενοι, και την αντιμισθιαν, ἣν εδει, την πλανης αυτων εν ἑαυτοις απολαμβανοντες.

to infamous passions: for even the sex perverted the instinct of nature: and the men unnaturally leaving the sex, were inflamed with mutual passions, which they shamefully indulged, and received in their own persons, the retribution that was justly due to such enormities. 27

28 Και καθως ουκ εδοκιμασαν τον Θεον εχειν εν επιγνωσει, παρεδωκεν αυτους ὁ Θεος εις αδοκιμον νουν, ποιειν τα μη
29 καθηκοντα, πεπληρωμενους παση αδικια (πορνεια) πονηρια, πλεονεξια, κακια, μεστους φθονου, φονου, εριδος, δολου,
30 κακοηθειας, ψιθυριστας, καταλαλους, θεοστυγεις, ὑβριστας, ὑπερηφανους, αλαζονας, εφευρετας κακων, γονευσιν α-
31 πειθεις, ασυνετους, ασυνθετους, αστοργους, ασπονδους,
32 ανελεημονας. οἵτινες το δικαιωμα του Θεου επιγνοντες, ουκ ενοησαν, ὁτι οἱ τα τοιαυτα πρασσοντες ἀξιοι θανατου εισιν, ου μονον δε οἱ ποιουντες αυτα, αλλα και οἱ συνευδοκουντες τοις πρασσουσι.

As they did not seek the favour of God, by worshipping him, God gave them over to a depraved sense, to act unworthy of human nature; they were full of all injustice, fornication, mischief, covetousness, malice; full of envy, murder, contention, fraud, malignity; whisperers, backbiters, enemies of God, injurious, proud, vain, inventers of vices, disobedient to parents, void of judgment, fidelity, and natural affection; implacable, and unmerciful: who knowing the divine rule of right, did not perceive that they who commit such things are worthy of death, and not only they who do the same, but they who give countenance to those that do them. 28 29 30 31 32

1 Διο αναπολογητος ει, ὦ ανθρωπε πας ὁ κρινων. εν ᾧ γαρ κρινεις τον ἑτερον, σεαυτον κατακρινεις, τα γαρ αυτα

Therefore thou art inexcusable, O man, whosoever thou art, that condemnest another, for by condemning them, you condemn yourself; since you that 1

2 τα πρασσεις ὁ κρινων. οιδα-
μεν δε ὁτι το κριμα του Θεου
εστι κατα αληθειαν επι τους
τα τοιαυτα πρασσοντας.
3 λογιζῃ δε τουτο, ὡ ανθρωπε
ὁ κρινων τους τα τοιαυτα
πρασσοντας, και ποιων αυ-
τα, ὁτι συ εκφευξῃ το κριμα
4 του Θεου? ἡ του πλουτου
της χρηστοτητος αυτου, και
της ανοχης, και της μακρο-
θυμιας καταφρονεις, αγνοων
ὁτι το χρηστον του Θεου εις
5 μετανοιαν σε αγει? κατα δε
την σκληροτητα σου και α-
μετανοητον καρδιαν, θησαυ-
ριζεις σεαυτῳ οργην εν ἡμερᾳ
οργης, και αποκαλυψεως δι-
6 καιοκρισιας του Θεου, ὁς α-
ποδωσει ἑκαστῳ κατα τα ερ-
7 γα αυτου, τοις μεν καθ' ὑπο-
μονην εργου αγαθου, δοξαν
και τιμην και αφθαρσιαν ζη-
8 τουσι, ζωην αιωνιον: τοις δε
ἐξ εριθειας, και απειθουσι μεν
τῃ αληθειᾳ, πειθομενοις δε τῃ
9 αδικιᾳ, θυμος και οργη. θλι-
ψις και στενοχωρια επι πα-
σαν ψυχην ανθρωπου του κα-
τεργαζομενου το κακον, Ιου-
δαιου τε πρωτον και Ελληνος.
10 δοξα δε και τιμη και ειρηνη
παντι τῳ εργαζομενῳ το α-
γαθον, Ιουδαιῳ τε πρωτον και
11 Ελληνι. ου γαρ εστι προσω-
πολημψια παρα τῳ Θεῳ.

12 Οσοι γαρ ανομως ἡμαρτον,
ανομως και απολουνται, και
ὁσοι εν νομῳ ἡμαρτον, δια νο-
μου

that condemn them, do the same things. but we know that the 2
judgment of God against those who commit such crimes, is just. do you think then, O man, 3
who do what you condemn in others, that you shall escape the judgment of God? or do you 4
despise the riches of his kindness, and forbearance, and long-suffering; not considering that the kindness of God invites you to repentance? however 5
by your impenitence, and the insensibility of your heart, you treasure up for yourself wrath against the day of wrath, and of the revelation of the righteous judgment of God, who will render to every 6
man according to his actions: eternal life to those, 7
who by patient continuance in well doing, seek for glory, honour, and immortality; but 8
unto those who are contentious, and do not yield to the truth, but give way to injustice, indignation and wrath, tribulation and anguish to every 9
one that doth evil, to the Jew first, and also to the Gentile. but glory, honour, and peace, 10
to every man that acts right, to the Jew first, and also to the Gentile: since with God 11
there is no respect of persons.

For as many as have sinned 12
without the law, shall also perish without the law: and

as

13 μου κριθησονται, ου γαρ οι ακροαται του νομου δικαιοι παρα τω Θεω, αλλ' οι ποιηται του νομου δικαιωθησονται. 14 οταν γαρ εθνη τα μη νομον εχοντα, φυσει τα του νομου ποιωσιν, ουτοι νομον μη εχοντες, εαυτοις εισι νομος, 15 οιτινες ενδεικνυνται το εργον του νομου γραπτον εν ταις καρδιαις αυτων, συμμαρτυρουσης αυτων της συνειδησεως, και μεταξυ αλληλων των λογισμων κατηγορουντων, η και απολογουμενων, 16 εν ημερα οτε κρινει ο Θεος τα κρυπτα των ανθρωπων, κατα το ευαγγελιον μου, δια Ιησου Χριστου.

*as many as have sinned under the law, shall be condemned by the law, * in the day, when* 16 *according to my gospel, God shall judge the secret actions of men by Jesus Christ. for* 13 *not the bare hearers of the law, but they who observe the law, are such as shall be justified, before God. when the* 14 *Gentiles who have not the law, do by nature what the law prescribes, tho' these have not the law, they are a law to themselves: for they shew* 15 *that the duties prescrib'd by the law, are written in their hearts, their consciences bearing witness to it, by their own reasonings alternately accusing and excusing them.*

17 Ει δε συ Ιουδαιος επονομαζη, και επαναπαυη τω νομω, και καυχασαι εν Θεω, 18 και γινωσκεις το θελημα, και δοκιμαζεις τα διαφεροντα, κατηχουμενος εκ του νομου, 19 πεποιθας τε σεαυτον οδηγον ειναι τυφλων, φως των εν σκοτει, 20 παιδευτην αφρονων, διδασκαλον νηπιων, εχοντα την μορφωσιν της γνωσεως και της αληθειας εν τω νομω. 21 ο ουν διδασκων ετερον, σεαυτον ου διδασκεις? ο κηρυσσων μη κλεπτειν, κλεπτεις? 22 ο λεγων μη μοιχευειν, μοιχευεις? ο βδελυσσομενος τα ειδωλα, ιεροσυλεις?

'Tis true, you bear the name 17 *of a Jew, you depend upon the law, and boast of your worship: you know the divine* 18 *will, and what is contrary thereto, having been educated in the law: you think you are* 19 *a guide to the blind, a light to those who are in darkness, an* 20 *instructer of the ignorant, a teacher to the weak, because you have a clear view of the true meaning of the law. you* 21 *therefore who instruct others don't you instruct yourself? you who preach against steal-* 22 *ing, do you steal? you who declaim against adultery, do you*

* N. B. The English answering to the 16th verse of the Greek is transpos'd, to make the sense more distinct.

εις? ὁ βδελυσσομενος τα ει-
23 δωλα, ἱεροσυλεις? ὁς εν νομῳ
καυχασαι, δια της παραβα-
σεως του νομου τον Θεον ατι-
24 μαζεις? το γαρ ονομα του
Θεου δι' ὑμας βλασφημειται
εν τοις εθνεσι, καθως γεγραπ-
ται.

25 Περιτομη μεν γαρ ωφελει,
εαν νομον πρασσῃς: εαν δε πα-
ραβατης νομου ἡς, ἡ περιτομη
26 σου ακροβυστια γεγονεν. εαν
ουν ἡ ακροβυστια τα δικαιω-
ματα του νομου φυλασσῃ,
ουχι ἡ ακροβυστια αυτου εις
27 περιτομην λογισθησεται? και
κρινει ἡ εκ φυσεως ακροβυστια
τον νομον τελουσα, σε τον
δια γραμματος και περιτομης
28 παραβατην νομου? ου γαρ
ὁ εν τῳ φανερῳ, Ιουδαιος εσ-
τιν, ουδε ἡ εν τῳ φανερῳ, εν
29 σαρκι, περιτομη: αλλ' ὁ εν
τῳ κρυπτῳ, Ιουδαιος, και
περιτομη καρδιας, εν πνευμα-
τι, ου γραμματι, ου ὁ επαι-
νος ουκ εξ ανθρωπων, αλλ' εκ
του Θεου.

1 Τι ουν το περισσον του Ι-
ουδαιου, ἡ τις ἡ ωφελεια της
2 περιτομης? πολυ, κατα παν-
τα τροπον. πρωτον μεν ὁτι
επιστευθησαν τα λογια του
Θεου.

you commit adultary? you who abhor idols, do you commit sacrilege? and you, who 23
glory in the law, do you dishonour God by the violation of the law? for (as it is 24
*written) * the name of God is blasphemed among the Gentiles by your miscarriages.*

Circumcision indeed is an 25
advantage, if you keep the law: but if you violate the law, your being a Jew makes you no better than a heathen. if therefore an uncircumci- 26
sed Gentile keep the moral precepts contained in the law, shall not he be reckon'd, as if he were circumcised? and 27
shall not a Gentile, tho' he is not actually circumcised, if he fulfil the law, condemn thee, who, tho' literally circumcised, dost yet transgress the law? for it is not the Jew 28
in outward appearance, neither is it the external mark of circumcision: but it is the Jew, 29
who is so inwardly, and it is the circumcision of the heart, according to the spiritual, not the literal sense, which have 1
the approbation, I do not say 1
of men, but of God.

What advantage then hath 1
the Jew? or what benefit is there from circumcision? much 2
every way: chiefly, because they were intrusted with the

ora-

* Isa. lii. 5. Ezech. xxxvi. 20.

3 Θεου. τι γαρ, ει ηπιστησαν τινες? μη η απιστια αυτων
4 την πιστιν του Θεου καταργησει? μη γενοιτο, γινεσθω δε ο Θεος αληθης, πας δε ανθρωπος ψευστης, καθως γεγραπται, " οπως αν δικαιωθης εν τοις λογοις σου, και
5 " νικησης εν τω κρινεσθαι σε. " ει δε η αδικια ημων Θεου " δικαιοσυνην συνιστησι, τι " ερουμεν? μη αδικος ο Θε-
6 " ος ο επιφερων την οργην? " κατα ανθρωπον, λεγω, μη
7 " γενοιτο, επει πως κρινει ο " Θεος τον κοσμον? ει γαρ " η αληθεια του Θεου εν τω " εμω ψευσματι επερισσευ- " σεν εις την δοξαν αυτου, τι
8 " ετι καγω ως αμαρτωλος " κρινομαι? και μη καθως " βλασφημουμεθα, και καθως " φασι τινες ημας λεγειν, οτι " ποιησωμεν τα κακα, ινα
9 " ελθη τα αγαθα? ων το " κριμα ενδικον εστι." τι ουν? προεχομεθα? ου παντως, προητιασαμεθα γαρ I-
10 ουδαιους τε και Ελληνας παντας υφ' αμαρτιαν ειναι. καθως γεγραπται, " ουκ εστι
11 " δικαιος ουδε εις, ουκ εστιν
12 " ο συνιων, ουκ εστιν ο εκ- " ζητων τον Θεον. παντες " εξεκλιναν, αμα ηχρειωθη- " σαν, ουκ εστι ποιων χρη- " στοτητα, ουκ εστιν εως

" ενος.

oracles of God. for what if 3
ſome betrayed their truſt? ſhall their unfaithfulneſs render the faithfulneſs of God of 4
no effect? by no means; yea, let God be acknowledged to be true, tho' men ſhould be all deceivers; as it is written, " * that you might be juſti- " fied in your ſayings, and " might overcome when you " are judged." but ſay you, " if 5
" our unfaithfulneſs diſplays " the veracity of God, what " ſhall we ſay? is it not in- " juſtice in God to inflict pu- " niſhment?" not at all: 6
for then how could God judge the world? " but, ſay you, 7
" if the veracity of God hath " appeared more illuſtrious " thro' my unfaithfulneſs, why " then am I condemned as a " ſinner? and why may we 8
" not do evil, that good may " come?" which is ſlanderouſly reported to be our maxim, by ſome, whoſe condemnation is juſt. " how then 9
" are we better than they?" why, not at all: for we have already convicted both Jews and Gentiles, of being all under the guilt of ſin. as it is 10
written, " † there is none " righteous, no not one: there 11
" is none that underſtandeth, " there is none that ſeeketh " after God. they are all gone 12

" out

* Pſal. li. 6. † Pſal. xiv. 3.

13 " ενος. ταφος ανεωγμενος ο
" λαρυγξ αυτων, ταις γλωσ-
" σαις αυτων εδολιουσαν, ιος
" ασπιδων υπο τα χειλη
14 " αυτων: ων το στομα α-
15 " ρας και πικριας γεμει. οξεις
" οι ποδες αυτων εκχεαι αι-
16 " μα. συντριμμα και τα-
" λαιπωρια εν ταις οδοις αυ-
17 " των. και οδον ειρηνης ουκ
18 " εγνωσαν. ουκ εστι φοβος
" Θεου απεναντι των οφ-
" θαλμων αυτων."

" *out of the way, they are to-*
" *gether become unprofitable,*
" *there is none that doth good,*
" *no not one.* * *their throat* 13
" *is an open ſepulchre; with*
" *their tongues they have uſed*
" *deceit;* † *the poiſon of aſps*
" *is under their lips:* ‖ *whoſe* 14
" *mouth is full of curſing and*
" *bitterneſs.* ** *their feet are* 15
" *ſwift to ſhed blood. de-* 16
" *ſtruction and miſery are in*
" *their ways: and the way* 17
" *of peace have they not*
" *known.* †† *there is no fear* 18
" *of God before their eyes.*"

19 Οιδαμεν δε οτι οσα νομος
λεγει, τοις εν τω νομω λαλει,
ινα παν στομα φραγη, και
υποδικος γενηται πας ο κοσμος
20 τω Θεω. διοτι εξ εργων νο-
μου ου δικαιωθησεται πασα
σαρξ ενωπιον αυτου, δια γαρ
νομου επιγνωσις αμαρτιας.
21 νυνι δε χωρις νομου δικαιοσυνη
Θεου πεφανερωται, μαρτυ-
ρουμενη υπο του νομου και
22 των προφητων. δικαιοσυνη
δε Θεου δια πιστεως Ιησου
Χριστου, εις παντας τους
πιστευοντας, ου γαρ εστι δι-
23 αστολη. παντες γαρ ημαρ-
τον, και υστερουνται της
24 δοξης του Θεου: δικαιουμε-
νοι δωρεαν τη αυτου χαριτι,
δια της απολυτρωσεως της εν
25 Χριστω Ιησου, ον προεθετο ο

Now we know that what- 19
ever the law ſays, it ſays to
thoſe who are under the law:
that every one may be ſilenc'd,
and all the world plead guilty
before God. for by the obſer- 20
vation of the law no one ſhall
be juſtified in his ſight, ſince it
is the law that takes cogni-
zance of ſin. but the divine 21
juſtification certified by the
law and the prophets, is now
clearly propoſed independently
of the law: that divine juſti- 22
fication, which by faith in Je-
ſus Chriſt is extended to all,
that believe; for there is no
diſtinction: for all having 23
ſinned, all have forfeited e-
ternal glory: being juſtified by 24
his unmerited favour through
the redemption that is by Jeſus
Chriſt: whom God had or- 25

* Pſal. v. 10. † cxl. 5. ‖ x. 7. ** Iſa. lix. 7. †† Pſal. xxxvi. 2.

Θεος ιλαστηριον (δια της πιστεως) εν τῳ αυτου αἱματι, εις ενδειξιν της δικαιοσυνης αὐτου, δια την παρεσιν των προγεγονοτων ἁμαρτηματων,
26 εν τῃ ανοχῃ του Θεου, προς ενδειξιν της δικαιοσυνης αυτου, εν τῳ νυν καιρῳ, εις το ειναι αυτον δικαιον, και δικαιουντα τον εκ πιστεως Ιη-
27 σου. που ουν ἡ καυχησις? εξεκλεισθη. δια ποιου νομου? των εργων? ουχι, αλλα δια
28 νομου πιστεως. λογιζομεθα γαρ πιστει δικαιουσθαι ανθρωπον, χωρις εργων νομου. η
29 Ιουδαιων ὁ Θεος μονον? ουχι δε και εθνων? ναι και εθνων.
30 επειπερ εἱς ὁ Θεος, ὁς δικαιωσει περιτομην εκ πιστεως, και ακροβυστιαν δια της πιστε-
31 ως. νομον ουν καταργουμεν δια της πιστεως? μη γενοιτο, αλλα νομον ἱστωμεν.

dained, thro' faith, to be the propitiatory victim by his blood, for the manifestation of his goodness, by patiently passing over their past transgressions: to manifest, I say, his 26
goodness at this time: that he might appear to be just, and the justifier of him who believes in Jesus. what reason 27
then is there for boasting? it is excluded. what, by the ceremonial law? no: but by the law of faith. for we con- 28
clude, that a man is justified by faith, without observing the legal rites. is God the 29
God of the Jews only, and not of the Gentiles? surely he is of the Gentiles too; since it is 30
one God, who will justify both the Jews and the Gentiles, through faith. do we then 31
make the law useless by our doctrine of faith? by no means; on the contrary, it is we that observe the law.

1 Τι ουν ερουμεν "Αβρααμ
"τον πατερα ἡμων ευρηκεναι
2 "κατα σαρκα?" ει γαρ Αβρααμ εξ εργων εδικαιωθη, εχει καυχημα, αλλ' ου προς
3 τον Θεον. τι γαρ ἡ γραφη λεγει? "επιστευσε δε Αβρα-
"αμ τῳ Θεῳ, και ελογισθη
4 "αυτῳ εις δικαιοσυνην." τῳ δε εργαζομενῳ ὁ μισθος ου λογιζεται κατα χαριν, αλλα

How then can we assert, 1
"*that Abraham our father*
"*obtained this from circum-*
"*cision?*" *for if Abraham* 2
was justified by works, he had matter of pretension, whereas he had no such claim from God. for what saith the 3
scripture? "*Abraham be-*
"*lieved God, and it was*
"*counted to him for righ-*
"*teousness.*" *the reward is* 4
not counted as a favour to him

κατα

that

5 κατα το οφειλημα· τῳ δε
μη εργαζομενῳ, πιστευοντι δε
επι τον δικαιουντα τον ασε-
βη, λογιζεται ἡ πιστις αυ-
6 του εις δικαιοσυνην. καθα-
περ και Δαβιδ λεγει τον μα-
καρισμον του ανθρωπου, ᾧ ὁ
Θεος λογιζεται δικαιοσυνην
7 χωρις εργων, "μακαριοι ὡν
"αφεθησαν αἱ ανομιαι, και
"ὡν επεκαλυφθησαν αἱ ἁ-
8 "μαρτιαι. μακαριος ανηρ ᾧ
"ου μη λογισηται Κυριος ἁ-
"μαρτιαν."

9 Ο μακαρισμος ουν ὁυτος,
επι την περιτομην, η και επι
την ακροβυστιαν? λεγομεν γαρ
ὁτι ελογισθη τῳ Αβρααμ ἡ
10 πιστις εις δικαιοσυνην. πως
ουν ελογισθη? εν περιτομῃ
οντι, η εν ακροβυστιᾳ? ουκ
εν περιτομῃ, αλλ' εν ακρο-
11 βυστιᾳ. και σημειον ελαβε
περιτομης, σφραγιδα της δι-
καιοσυνης της πιστεως της εν
τῃ ακροβυστια, εις το ειναι
αυτον πατερα παντων των
πιστευοντων δι' ακροβυστιας,
εις το λογισθηναι και αυτοις
12 την δικαιοσυνην: και πατερα
περιτομης, τοις ουκ εκ περι-
τομης μονον, αλλα και τοις
στοιχουσι τοις ιχνεσι της εν

that has done good actions,
but as a debt: whereas he 5
that truſts in God to be made
righteous, tho' he has not
done ſuch actions, ſhall find
his faith accounted as right-
teouſneſs. even as David alſo 6
ſpeaks of the happineſs of the
man whom God accounted
righteous independently of his
works, "* happy are they 7
"whoſe iniquities are for-
"given, and whoſe ſins are
"covered. happy is the man 8
"to whom the Lord will not
"account ſin."

Is this happineſs then for 9
the circumciſed only, or for
the uncircumciſed alſo? for
we ſay that faith was ac-
counted to Abraham for right-
teouſneſs. how was it then 10
accounted? whilſt he was cir-
cumciſed, or uncircumciſed?
he was not then circumciſed,
but uncircumciſed: and he re- 11
ceived the ſign of circumciſion,
as a ſeal of the juſtification by
that faith, which the uncir-
cumciſed have: that he might
be the father of all thoſe who
believe, tho' they are uncir-
cumciſed, that it might be ac-
counted to them alſo for right-
teouſneſs: and the father of 12
the circumciſed, that is of thoſe
who are not barely circumciſed,
but who imitate that faith

* Pſal. xxxii. 1, 2.

τη ακροβυστια πιστεως του πατρος ημων Αβρααμ.

13 Ου γαρ δια νομου η επαγγελια τω Αβρααμ, η τω σπερματι αυτου, τον κληρονομον αυτον ειναι του κοσμου, αλλα δια δικαιοσυνης πιστε-
14 ως. ει γαρ οι εκ νομου, κληρονομοι, κεκενωται η πιστις, και κατηργηται η επαγγελια.
15 ο γαρ νομος οργην κατεργαζεται, ου γαρ ουκ εστι νομος,
16 ουδε παραβασις. δια τουτο εκ πιστεως, ινα κατα χαριν, εις το ειναι βεβαιαν την επαγγελιαν παντι τω σπερματι, ου τω εκ του νομου μονον, αλλα και τω εκ πιστεως Αβρααμ, ος εστι πατηρ παν-
17 των ημων, καθως γεγραπται, "οτι πατερα πολλων εθνων "τεθεικα σε," κατεναντι ου επιστευσε Θεου, του ζωοποιουντος τους νεκρους, και καλουντος τα μη οντα ως ον-
18 τα. ος παρ' ελπιδα επ' ελπιδι επιστευσεν, εις το γενεσθαι αυτον πατερα πολλων εθνων, κατα το ειρημενον, "ου-"τως εσται το σπερμα σου."
19 και μη ασθενησας τη πιστει, ου κατενοησε το εαυτου σωμα (ηδη) νενεκρωμενον, εκατονταετης που υπαρχων, και την νεκρωσιν της μητρας

which our father Abraham had, being yet uncircumcised.

Besides, the promise that he 13
should possess the world, was not made to Abraham, or to his posterity in consideration of the law, but with regard to the righteousness by faith. for 14
if they only who are of the law have right of possession, faith is made useless, and the promise becomes of no effect. because the effect of the law 15
is punishment: for if there had been no law, there could have been no transgression. therefore the inheritance is of 16
faith, that it might be meerly of favour, to the end the promise might be assured to all his posterity, not to that part only who have the law, but to that also who have the faith of Abraham, the father of us all, as it is written, "* I have 17
"made thee a father of many "nations," then existing in the sight of God, whom he believed, who gives life to the dead, and calls forth things that are not, as if they were: he it was who against hope 18
believed in hope, that he should become the father of many nations, according to what was told him, "so shall thy pos-"terity be:" far from being 19
weak in faith, unconcern'd at his own bodily decay, being then about

αρ-

* Gen. xvii. 5.

20 Σαρρας. εις δε την επαγγε-
λιαν του Θεου ου διεκριθη τη
απιστεια, αλλ' ενεδυναμωθη
τη πιστει, δους δοξαν τω
21 Θεω, και πληροφορηθεις οτι
ο επηγγελται, δυνατος εστι
22 και ποιησαι. διο και ελογισ-
23 θη αυτω εις δικαιοσυνην. ουκ
24 εγραφη δε δι' αυτον μονον." οτι
"ελογισθη αυτω," αλλα και
δι' ημας, οις μελλει λογιζεσ-
θαι, τοις πιστευουσιν επι τον
εγειραντα Ιησουν τον Κυριον
25 ημων εκ νεκρων, ος παρεδοθη
δια τα παραπτωματα ημων,
και ηγερθη δια την δικαιωσιν
ημων.

about an hundred years old, and at Sarah's incapacity of child-bearing, he was not incredulously diffident of the divine promise; but was strong in faith, and did honour to God, by the full persuasion he had, that what he had promised, he was able also to perform. and therefore it was accounted to him for righteousness. now this saying, "that it was accounted to him," was not written for his sake alone, but for us also, to whom it shall be accounted, if we believe on him that raised up Jesus our Lord from the dead, who was delivered for our offences, and was raised again for our justification.

20 21 22 23 24 25

1 Δικαιωθεντες ουν εκ πισ-
τεως, ειρηνην εχομεν προς τον
Θεον δια του Κυριου ημων Ιη-
2 σου Χριστου. δι' ου και την
προσαγωγην εσχηκαμεν (τη
πιστει) εις την χαριν ταυτην
εν η εστηκαμεν, και καυχω-
μεθα επ' ελπιδι της δοξης του
3 Θεου. ου μονον δε, αλλα
και καυχωμεθα εν ταις θλι-
ψεσιν, ειδοτες οτι η θλιψις
4 υπομονην κατεργαζεται, η δε
υπομονη δοκιμην, η δε δοκιμη
5 ελπιδα. η δε ελπις ου καταισ-
χυνει, οτι η αγαπη του Θεου
εκκεχυται εν ταις καρδιαις η-
μων δια πνευματος αγιου του
6 δοθεντος ημιν. ετι γαρ Κρισ-
τος

Therefore being justified by faith, we have peace with God, through our Lord Jesus Christ, who has given us access by faith to that degree of favour, we are in, by which we triumph in the hopes of divine glory. and not only so, but we triumph in tribulation also, knowing that tribulation worketh patience; and patience, probation; and probation, hope: now hope will not deceive us, because the love of God is diffused thro' our hearts, by the holy spirit which is given to us; for at the appointed time Christ died for

1 2 3 4 5 6

των οντων ημων ασθενων, κατα καιρον υπερ ασεβων απε-
7 θανε. μολις γαρ υπερ δικαιου τις αποθανειται, υπερ γαρ του αγαθου ταχα τις και
8 τολμα αποθανειν. συνιστησι δε την εαυτου αγαπην εις ημας ο Θεος, οτι ετι αμαρτωλων οντων ημων, Χριστος υ-
9 περ ημων απεθανε. πολλω ουν μαλλον, δικαιωθεντες νυν εν τω αιματι αυτου, σωθησομεθα δι' αυτου απο της ορ-
10 γης. ει γαρ εχθροι οντες κατηλλαγημεν τω Θεω δια του θανατου του υιου αυτου, πολλω μαλλον καταλλαγεντες σωθησομεθα εν τη ζωη
11 αυτου. ου μονον δε, αλλα και καυχωμενοι εν τω Θεω δια του Κυριου ημων Ιησου Χριστου, δι' ου νυν την καταλλαγην ελαβομεν.

12 Δια τουτο ωσπερ δι' ενος ανθρωπου η αμαρτια εις τον κοσμον εισηλθε, και δια της αμαρτιας ο θανατος, και ουτως εις παντας ανθρωπους διηλθεν, εφ' ω παντες ημαρ-
13 τον. αχρι γαρ νομου αμαρτια ην εν κοσμω, αμαρτια δε ουκ ελλογειται μη οντος νο-
14 μου. αλλ' εβασιλευσεν ο θανατος απο Αδαμ μεχρι Μωσεως, και επι τους μη αμαρτησαντας επι τω ομοιωματι της παραβασεως Αδαμ, ος εστι τυπος του μελλοντος.
15 αλλ' ουχ ως το παραπτωμα, ουτω και το χαρισμα.

for us, when we were in a helpless, sinful state. now 7
for a wicked man no one would willingly die; but for a benefactor some have readily offer'd to die. but herein 8
hath God displayed his love towards us, in that Christ died for us, even while we were yet sinners. much more 9
then being now justified by his blood, shall we thro' him be delivered from the wrath to come. for if, when we were 10
enemies, we were reconciled to God by the death of his son: much more being reconciled, shall we be saved by his life. and not only so, but we 11
have present joy in God, through our Lord Jesus Christ, by whom we have now obtained the reconciliation.

Wherefore, as by one man 12
sin entered into the world, so death by this sin; and thereby death passed upon all men, who all by his means became mortal. sin indeed was in 13
the world all the time before the law: but then sin is not punished when there is no law. nevertheless death reigned from Adam to Moses, even over those who had not 14
sinned by violating a positive law, as did Adam, who is the type of him that was to 15
come: but yet the damage of the fall does not exactly correspond

ει γαρ τῳ του ἑνος παραπτωματι οἱ πολλοι απεθανον, πολλῳ μαλλον ἡ χαρις του Θεου και ἡ δωρεα εν χαριτι τῃ του ἑνος ανθρωπου Ιησου Χριστου εις τους πολλους ε-
16 περισσευσε. και ουχ ὡς δι' ἑνος ἁμαρτησαντος, το δωρημα, το μεν γαρ κριμα ἐξ ἑνος εις κατακριμα, το δε χαρισμα εκ πολλων παραπτω-
17 ματων, εις δικαιωμα. ει γαρ τῳ του ἑνος παραπτωματι ὁ θανατος εβασιλευσε δια του ἑνος, πολλῳ μαλλον οἱ την περισσειαν της χαριτος και της δωρεας της δικαιοσυνης λαμβανοντες, εν ζωῃ βασιλευσουσι δια του ἑνος Ιησου Χριστου.

18 Αρα ουν ὡς δι ἑνος παραπτωματος, εις παντας ανθρωπους, εις κατακριμα, ουτω και δι' ἑνος δικαιωματος, εις παντας ανθρωπους, εις δικαι-
19 ωσιν ζωης. ὡσπερ γαρ δια της παρακοης του ἑνος ανθρωπου ἁμαρτολοι κατεσταθησαν οἱ πολλοι, ουτω και δια της ὑπακοης του ἑνος δικαιοι κατασταθησονται οἱ
20 πολλοι. νομος δε παρεισηλθεν ἱνα πλεονασῃ το παραπτωμα. ου δε επλεονασεν ἡ ἁμαρτια, ὑπερεπερισσευσεν ἡ
21 χαρις. ἱνα ὡσπερ εβασιλευσεν ἡ ἁμαρτια εν τῳ θανατῳ, ουτω και ἡ χαρις βασιλευσῃ δια δικαιοσυνης εις ζωην αιωνιον,

respond to the advantages of the divine favour: for tho' through the fall of one, mankind became mortal, yet this is greatly over-ballanced by the favour and bounty of God, in the benevolence of one man, Jesus Christ, to all mankind.
neither is the gift, as was the 16
fall by one sin: for the sentence of condemnation, was for one offence; but the divine favour extends to justification from a multitude of sins. for 17
tho' death reigned thro' the single offence of one, they who receive the most valuable favour, even the gift of righteousness, shall much more easily reign by the life of one, even Jesus Christ.

Therefore as by one offence 18
all men fell under condemnation: even so by one act of righteousness, all men are restored to life. for as by one 19
man's disobedience many receiv'd the punishment of sinners, so by the obedience of one shall many receive the reward of the righteous. the law was 20
introduc'd, that the greatness of the fall might fully appear; but the more sin display'd its enormity, the divine favour was so much the more transcendent. that as sin prevailed 21
unto death, even so might the divine favour prevail by righ-

teousness

ωνιον, δια Ιησου Χριστου του Κυριου ημων.

1 Τι ουν ερουμεν, επιμενωμεν τη αμαρτια, ινα η χαρις
2 πλεοναση? μη γενοιτο, οιτινες απεθανομεν τη αμαρτια,
3 πως ετι ζησομεν εν αυτη? η αγνοειτε οτι οσοι εβαπτισθημεν εις Χριστον Ιησουν, εις
4 τον θανατον αυτου εβαπτισθημεν? συνεταφημεν ουν αυτω δια του βαπτισματος εις τον θανατον, ινα ωσπερ ηγερθη Χριστος εκ νεκρων δια της δοξης του πατρος, ουτω και ημεις εν καινοτητι ζωης
5 περιπατησωμεν. ει γαρ συμφυτοι γεγοναμεν τω ομοιωματι του θανατου αυτου, αλλα και της αναστασεως εσομε-
6 θα. τουτο γινωσκοντες, οτι ο παλαιος ημων ανθρωπος συνεσταυρωθη, ινα καταργηθη το σωμα της αμαρτιας, του μηκετι δουλευειν ημας τη
7 αμαρτια. ο γαρ αποθανων δεδικαιωται απο της αμαρ-
8 τιας. ει δε απεθανομεν συν
9 Χριστω, πιστευομεν οτι και συζησομεν αυτω, ειδοτες οτι Χριστος εγερθεις εκ νεκρων,
10 ουκ ετι αποθνησκει, θανατος αυτου ουκ ετι κυριευει. ο γαρ απεθανε, τη αμαρτια απεθανεν εφαπαξ, ο δε ζη, ζη τω

teousneſs unto eternal life, thro' Jeſus Chriſt our Lord.

Do we then conclude thus, 1
let us continue in ſin, that the divine favour may be more fully diſplay'd? God forbid, 2
that we who have died to ſin ſhould live any longer therein.
* don't you know that when 3
we were all baptized in the name of Jeſus Chriſt, we were plunged into a ſtate figurative of his death. therefore 4
we are buried with him by being plunged into a ſort of death: that as Chriſt was raiſed up from the dead into a ſtate of glory with the father, even ſo we alſo ſhould proceed to a new ſtate of life. for if we 5
reſembled him with regard to death, certainly we ſhall likewiſe do ſo with regard to his reſurrection: conſidering this, 6
that our vicious paſſions were crucified with him, that the body of ſin being deſtroyed, we might not any longer be vaſſals to ſin. for by its being dead, we 7
are ſet free from ſin. ſince then 8
we died with Chriſt, we are perſuaded that we ſhall alſo live with him: knowing that 9
Chriſt being raiſed from the dead, is to die no more; death hath no more dominion over him. for as to his death, he 10
died upon the account of ſin once for all; but as to his being

Θεῳ.

* Acts xix. 5.

11 Θεῳ. οὑτω και ὑμεις λογιζεσθε, ἑαυτους νεκρους μεν ειναι τῃ ἁμαρτιᾳ, ζωντας δε τῳ Θεῳ εν Χριστῳ Ιησου τῳ Κυριῳ ἡμων.

12 Μη ουν βασιλευετω ἡ ἁμαρτια εν τῳ θνητῳ ὑμων σωματι, εις το ὑπακουειν αυτῃ (εν ταις επιθυμιαις αυ-
13 του.) μηδε παριστανετε τα μελη ὑμων ὁπλα αδικιας τῃ ἁμαρτιᾳ, αλλα παραστησατε ἑαυτους τῳ Θεῳ, ὡς εκ νεκρων ζωντας, και τα μελη ὑμων ὁπλα δικαιοσυνης τῳ
14 Θεῳ. ἁμαρτια γαρ ὑμων ου κυριευσει, ου γαρ εστε ὑπο νομον, αλλ' ὑπο χαριν.

15 Τι ουν? ἁμαρτησομεν, ὁτι ουκ εσμεν ὑπο νομον, αλλ'
16 ὑπο χαριν? μη γενοιτο. ουκ οιδατε ὁτι ᾧ παριστανετε ἑαυτους δουλους εις ὑπακοην, δουλοι εστε ᾧ ὑπακουετε, ητοι ἁμαρτιας εις θανατον, ἡ
17 ὑπακοης εις δικαιοσυνην? χαρις δε τῳ Θεῳ, ὁτι ητε δουλοι της ἁμαρτιας, ὑπηκουσατε δε εκ καρδιας εις ὁν παρεδοθητε τυπον διδαχης. ελευθερωθεντες δε απο της ἁμαρτιας,
18 εδουλωθητε τῃ δικαιοσυνῃ.
19 ανθρωπινον λεγω, δια την ασθενειαν της σαρκος ὑμων. ὡσπερ γαρ παρεστησατε τα μελη ὑμων δουλα τῃ ακα-

ing alive, he lives to the glory of God for ever. in like 11
manner consider your selves as dead to sin; but alive to God, through Jesus Christ our Lord.

Let not sin therefore reign 12
in your mortal body, by making you slaves to the lusts thereof. neither yield your 13
members as instruments to iniquity: but yield yourselves unto God, as being alive after having been dead; and your members as instruments of righteousness. for then 14
sin shall have no dominion over you: because you are not under the legal, but under the gospel dispensation.

What then? shall we sin, 15
because we are not under the law, but under the gospel? by no means. know ye not, 16
that to whom ye subject your selves vassals at command, his vassals you are whom you thus obey; the vassals either of sin to destruction, or of obedience to justification? but 17
God be thanked, that you, who were the vassals of sin, have sincerely obeyed in the manner the gospel prescribed. being then set free from sin, 18
ye became the servants of righteousness. (I allude to civil affairs, because of your 19
unacquaintedness with spiritual matters:) as then you

θαρσια και τη ανομια εις την ανομιαν, ουτω νυν παραστησατε τα μελη υμων δουλα τη δικαιοσυνη εις αγιασμον.
20 οτε γαρ δουλοι ητε της αμαρτιας, ελευθεροι ητε τη δικαιο-
21 συνη. τινα ουν καρπον ειχετε τοτε, εφ' οις νυν επαισχυνεσθε? το γαρ τελος εκει-
22 νων, θανατος. νυνι δε ελευθερωθεντες απο της αμαρτιας δουλωθεντες δε τω Θεω, εχετε
ν καρπον υμων εις αγιασμον, το δε τελος, ζωην αιω-
23 νιον. τα γαρ οψωνια της αμαρτιας, θανατος, το δε χαρισμα του Θεου, ζωη αιωνιος εν Χριστω Ιησου τω Κυριω ημων.

made your natural faculties ſubſervient to impurity, and all manner of vice; make them now ſubſervient to virtue and holineſs. for when 20
ye were the vaſſals of ſin, ye were not in the ſervice of virtue. what benefit had you 21
then in thoſe things whereof you are now aſhamed? ſince they terminated all in death. but now being ſet free from 22
ſin, and actually in the ſervice of God, the preſent advantage you reap is holineſs, and the future everlaſting life. for the wages of ſin is 23
death: but the gift of God is eternal life through Jeſus Chriſt our Lord.

1 Η αγνοειτε, αδελφοι, γινωσκουσι γαρ νομον λαλω, οτι ο νομος κυριευει του ανθρωπου εφ' οσον χρονον ζη?
2 η γαρ υπανδρος γυνη τω ζωντι ανδρι δεδεται νομω, εαν δε αποθανη ο ανηρ, κατηργηται απο του νομου του ανδρος.
3 αρα ουν ζωντος του ανδρος μοιχαλις χρηματισει, εαν γενεται ανδρι ετερω, εαν δε αποθανη ο ανηρ, ελευθερα εστιν απο του νομου, του μη ειναι αυτην μοιχαλιδα, γενομενην ανδρι ετερω.
4 ωστε, αδελφοι μου, και υμεις εθανατωθητε τω νομω δια του

Know ye not, brethren, 1
(for I ſpeak to Jews acquainted with the law) that the law hath authority over a man, till it be abrogated? now a married woman is 2
bound by the law to her living husband: but if her husband dieth, ſhe is releaſed from the marriage-contract. wherefore ſhe will be reputed 3
an adultereſs if ſhe become another man's during her husband's life: but if her husband dies, ſhe is clear from that law, from the imputation of being an adultereſs, though ſhe become another man's. thus, my bre- 4
thren, the law is become

σωματος dead

σωματος του Χριστου, εις το γενεσθαι ὑμας ἑτερῳ τῳ εκ νεκρων εγερθεντι, ἱνα καρποφορησωμεν τῳ Θεῳ. ὁτε γαρ ημεν εν τῃ σαρκι, τα παθηματα των ἁμαρτιων τα δια του νομου, ενηργειτο εν τοις μελεσιν ἡμων, εις το καρποφορησαι τῳ θανατῳ· νυνι δε κατηργηθημεν απο του νομου, αποθανοντες εν ᾧ κατειχομεθα, ὡστε δουλευειν ἡμας εν καινοτητι πνευματος, και ου παλαιοτητι γραμματος.

dead with reſpect to you by the body of Chriſt; that you might be ſubject to another, even to him who is raiſed from the dead, that we ſhould bring forth fruit unto God. for when we were in the carnal ſtate of the law, the ſinful paſſions of that ſtate ſet our animal faculties to work in the ſervice of death. but now we are delivered by the death of the law, which held us in bondage: that we might ſerve according to the living ſpirit, and not in the dead letter of the law.

Τι ουν ερουμεν? ὁ νομος ἁμαρτια? μη γενοιτο, αλλα την ἁμαρτιαν ουκ εγνων ει μη δια νομου. τηντε γαρ επιθυμιαν ουκ ηδειν, ει μη ὁ νομος ελεγεν, "ουκ επιθυμησεις." αφορμην δε λαβουσα ἡ ἁμαρτια δια της εντολης, κατειργασατο εν εμοι πασαν επιθυμιαν. χωρις γαρ νομου ἁμαρτια νεκρα. εγω δε ἐζων χωρις νομου ποτε, ελθουσης δε της εντολης, ἡ ἁμαρτια ανεζησεν.

*Do we then conclude, that the law is the cauſe of ſin? by no means; but * I ſhould not have had ſuch a notion of ſin, had it not been for the law: for I ſhould not have known concupiſcence was a ſin, unleſs the law had ſaid, "thou ſhalt not covet." but ſin receiving ſtrength by the commandment, wrought in me all manner of concupiſcence. for before the law ſin appear'd dead. then it was I once liv'd ſecure; but when the prohibition came, ſin exerted it ſelf, and I was in a dying*

* It is certain St. *Paul* does not here mean himſelf, tho' he ſpeaks in the firſt perſon, to ſoften what would be offenſive, if delivered in a direct way. inſtances of this figure you have Ch. iii. 7. 1 Cor. iii. 4. iv. 6. xiii. 2. Gal. ii. 18. ſo in this chapter, the *law*, *death* and *ſin* are all repreſented as *perſons*.

10 νεζησεν, εγω δε απεθανον, και ευρεθη μοι ἡ εντολη ἡ εις
11 ζωην, αὐτη εις θανατον. ἡ γαρ ἁμαρτια αφορμην λαβουσα δια της εντολης, εξηπατησε με, και δι' αυτης απεκ-
12 τεινεν. ὡστε ὁ μεν νομος ἁγιος, και ἡ εντολη ἁγια και
13 δικαια και αγαθη. το ουν αγαθον, εμοι γεγονε θανατος? μη γενοιτο, αλλα ἡ ἁμαρτια, ἱνα φανῃ ἁμαρτια δια του αγαθου μοι κατεργαζομενη θανατον, ἱνα γενηται καθ' ὑπερβολην ἁμαρτωλος ἡ ἁ-
14 μαρτια δια της εντολης. οιδαμεν γαρ ὁτι ὁ νομος πνευματικος εστιν, εγω δε σαρκικος · ειμι, πεπραμενος ὑπο την ἁ-
15 μαρτιαν. ὁ γαρ κατεργαζομαι, ου γινωσκω: ου γαρ ὁ θελω, τουτο πρασσω, αλλ' ὁ
16 μισω, τουτο ποιω. ει δε ὁ ου θελω, τουτο ποιω, συμ-
17 φημι τῳ νομῳ ὁτι καλος. νυνι δε ουκ ετι εγω κατεργαζομαι αυτο, αλλ' ἡ οικουσα εν εμοι
18 ἁμαρτια. οιδα γαρ ὁτι ουκ οικει εν εμοι, τουτεστιν εν τῃ σαρκι μου, αγαθον. το γαρ θελειν παρακειται μοι, το δε κατεργαζεσθαι το καλον, ουχ
19 ευρισκω. ου γαρ, ὁ θελω, ποιω αγαθον, αλλ' ὁ ου θελω
20 κακον, τουτο πρασσω. ει δε ὁ ου θελω εγω τουτο ποιω, ουκ ετι εγω κατεργαζομαι αυτο, αλλ' ἡ οικουσα εν εμοι

dying condition: and the com- 10
mandment which leads to life
was inſtrumental to my ruin.
for ſin getting power by the 11
commandment, deceived me,
and by it ſlew me. wherefore 12
the law is holy; and the
commandment holy, and juſt,
and good. was it then good 13
that brought death upon me?
no, but it was ſin, that ſin
might ſhow it ſelf by being
able to bring death upon me
by means of that which is
good; that ſin, I ſay, by the
commandment might appear
to be exceedingly deſtructive.
for we know that the law is 14
ſpiritual: but I am carnal,
ſold a ſlave to ſin. what I do 15
I allow not: for what my
mind leads me to, that do I
not; but what I have an a-
verſion to, that I do. if then 16
I do what I in my mind am
againſt, the conſent of my
mind is, that the law is right.
now then, it is not wholly I 17
that do it, but the ſinful paſ-
ſions that dwell in me. for I 18
experience, that in the car-
nal part of me dwells no
good: for it is familiar to
me, to will, but not to exe-
cute that which is good. for 19
the good that I purpoſe to do,
I do not: but the evil which
I reſolve againſt, that I do.
now if I do that which my 20
mind is againſt, it is not

ἁ- *meerly*

21 ἁμαρτια. ἑυρισκω αρα τον νομον τῳ θελοντι εμοι ποιειν το καλον, ὁτι εμοι το κακον
22 παρακειται. συνηδομαι γαρ τῳ νομῳ του Θεου κατα τον
23 εσω ανθρωπον. βλεπω δε ἑτερον νομον εν τοις μελεσι μου αντιστρατευομενον τῳ νομῳ του νοος μου, και αιχμαλωτιζοντα με τῳ νομῳ της ἁμαρτιας τῳ οντι εν τοις
24 μελεσι μου. ταλαιπωρος εγω ανθρωπος, τις με ῥυσεται εκ του σωματος του θανατου
25 τουτου? χαρις δε τῳ Θεῳ δια Ιησου Χριστου του Κυριου ἡμων. αρα ουν αυτος εγω τῳ μεν νοι δουλευω νομῳ Θεου, τῃ δε σαρκι, νομῳ ἁμαρτιας.

meerly *I* that do it, but *ſin* that dwells in me. *I find* 21
then a ſettled cuſtom, that evil is objected in my way whenever I have a mind to act well: for my mind takes 22
delight in the law of God, but I perceive in the animal 23
part of me another law warring againſt the law of my mind, and bringing me into captivity to the law of ſin, which is in my animal part.
O wretched man that I am, 24
what ſhall deliver me from this body of death? the di- 25
vine grace thro' Jeſus Chriſt our Lord. ſo then, with the mind I my ſelf am devoted to the law of God; tho' my carnal inclinations are enſlaved to the law of ſin.

1 Ουδεν αρα νυν κατακριμα τοις εν Χριστῳ Ιησου, μη κα-
2 τα σαρκα περιπατουσιν, ὁ γαρ νομος του πνευματος της ζωης εν Χριστῳ Ιησου, ηλευθερωσε με απο του νομου της ἁμαρτιας και του θανατου.
3 το γαρ αδυνατον του νομου, εν ᾧ ησθενει δια της σαρκος, ὁ Θεος τον ἑαυτου ὑιον πεμψας εν ὁμοιωματι σαρκος ἁμαρτιας, και περι ἁμαρτιας, κατεκρινε την ἁμαρτιαν εν τῃ
4 σαρκι. ἱνα το δικαιωμα του νομου πληρωθῃ εν ἡμιν τοις μη κατα σαρκα περιπατουσιν,

Sentence of death therefore 1
ſhall not paſs upon thoſe chriſtians who do not lead a vicious life. for the chri- 2
ſtian diſpenſation of a ſpiritual life has ſet me free from the legal ſtate of ſin and death. God having ſent his 3
own ſon inveſted with a body like that of ſinful men, as a ſacrifice for ſin, thereby deſtroyed its power; which the law could not effect, human nature being in ſuch a corrupted ſtate. ſo that the mo- 4
ral obligations of the law might be fulfilled by us, in living according to the ſpi-

σιν, αλλα κατα πνευμα. οἱ γαρ κατα σαρκα οντες, τα της σαρκος φρονουσιν, οἱ δε κατα πνευμα, τα του πνευματος. το γαρ φρονημα της σαρκος, θανατος, το δε φρονημα του πνευματος, ζωη και ειρηνη. διοτι το φρονημα της σαρκος, εχθρα εις Θεον. τῳ γαρ νομῳ του Θεου ουχ ὑποτασσεται, ουδε γαρ δυναται. οἱ δε εν σαρκι οντες, Θεῳ αρεσαι ου δυνανται. ὑμεις δε ουκ εστε εν σαρκι, αλλ' εν πνευματι, ειπερ πνευμα Θεου οικει εν ὑμιν. ει δε τις πνευμα Χριστου ουκ εχει, ουτος ουκ εστιν αυτου. ει δε Χριστος εν ὑμιν, το μεν σωμα νεκρον δι' ἁμαρτιαν, το δε πνευμα, ζωη δια δικαιοσυνην. ει δε το πνευμα του εγειραντος Ιησουν εκ νεκρων οικει εν ὑμιν, ὁ εγειρας τον Χριστον εκ νεκρων, ζωοποιησει και τα θνητα σωματα ὑμων, δια του ενοικουντος αυτου πνευματος εν ὑμιν.

ritual, and not the carnal tenor thereof: for they that are ſenſually affected, abandon themſelves to ſenſuality, but the ſpiritual purſue their ſpiritual entertainments. now ſenſual inclinations lead to death; but ſpiritual affections to a life of tranquillity. becauſe a ſenſual diſpoſition of mind is averſe to God: for it is not ſubject to the divine law, nor indeed can it be. ſo that they who are in a carnal ſtate, cannot be acceptable to the divine being. as for you, you are not in ſuch a ſtate, but in a ſpiritual one, provided the divine ſpirit dwell in you. now if any man have not the ſpirit of Chriſt, he is none of his. and if Chriſt be in you, tho' the body is mortal in conſequence of ſin; the ſpirit gives life by juſtification. for if the ſpirit of him that raiſed up Jeſus from the dead, dwell in you; he that raiſed up Chriſt from the dead, ſhall likewiſe reſtore your mortal bodies to life, by his ſpirit that dwelleth in you.

Αρα ουν, αδελφοι, οφειλεται εσμεν ου τῃ σαρκι, του κατα σαρκα ζῃν. ει γαρ κατα σαρκα ζητε, μελλετε αποθνησκειν, ει δε πνευματι τας πραξεις του σωματος θανατουτε,

You are, therefore, brethren oblig'd to oppoſe your ſenſual paſſions; for if you lead a ſenſual life, you will be miſerable: but if through the ſpirit you mortify the affections

14 νατουτε, ζεσεσθε. ὁσοι γαρ
πνευματι Θεου αγονται, ου-
15 τοι εισιν υἱοι Θεου. ου γαρ ε-
λαβετε πνευμα δουλειας πα-
λιν εις φοβον, αλλ᾽ ελαβετε
πνευμα υἱοθεσιας, εν ᾧ κρα-
16 ζομεν, Αββα ὁ πατηρ. αυτο
το πνευμα συμμαρτυρει τῳ
πνευματι ἡμων ὁτι εσμεν τεκ-
17 να Θεου. ει δε τεκνα, και
κληρονομοι, κληρονομοι μεν
Θεου, συγκληρονομοι δε Χρισ-
του, ειπερ συμπασχομεν, ἱνα
18 και συνδοξασθωμεν. λογιζο-
μαι γαρ ὁτι ουκ αξια τα
παθηματα του νυν καιρου
προς την μελλουσαν δοξαν α-
19 ποκαλυφθηναι εις ἡμας. ἡ
γαρ αποκαραδοκια της κτι-
σεως την αποκαλυψιν των
υἱων του Θεου απεκδεχεται.
20 τῃ γαρ ματαιοτητι ἡ κτισις
ὑπεταγη, ουχ ἑκουσα, αλλα
δια τον ὑποταξαντα: ἐπ᾽ ελ-
21 πιδι, ὁτι και αυτη ἡ κτισις
ελευθερωθησεται απο της δου-
λειας της φθορας εις την ελευ-
θεριαν της δοξης των τεκνων
22 του Θεου. οιδαμεν δε γαρ
ὁτι πασα ἡ κτισις συστε-
ναζει και συνωδινει αχρι του
23 νυν. ου μονον δε, αλλα και
αυτοι την απαρχην του πνευ-
ματος εχοντες, και ἡμεις αυ-
τοι εν ἑαυτοις στεναζομεν,
υἱοθεσιαν απεκδεχομενοι, την
απολυτρωσιν του σωματος
ἡμων.

fections of corrupted nature, you will be happy. 14 *as many as are actuated by the ſpirit of God, they are the ſons of God.* 15 *for the ſpirit you have received is not ſervile to keep you ſtill in fear; but it is the ſpirit of adoption, whereby we cry Abba, that is, father.* 16 *the ſame ſpirit teſtifies to our ſpirit, that we are the children of God.* 17 *and if children, then heirs; heirs of God, and joint-heirs with Chriſt; although we now ſuffer with him, that we may alſo be glorified with him.* 18 *for I conſider, that the ſufferings of this preſent life are infinitely over-ballanc'd by that glory which ſhall hereafter be diſcovered to us.* 19 *mankind impatiently deſire that the divine being would diſplay himſelf to his creatures,* 20 *who were not, by their own choice, expos'd to this uncertain ſtate, but by virtue of him, who ſubjected them thereto:* 21 *and therefore hope to be removed from this ſlaviſh condition of mortality to the free inheritance of divine glory.* 22 *for we know that the whole creation groans, and labours with general pain even to this day.* 23 *and not only they, but even thoſe who have the firſt fruits of the ſpirit, even we our ſelves do inwardly groan for the*

24 ἡμων. τῃ γαρ ελπιδι εσωθημεν. ελπις δε βλεπομενη, ουκ εστιν ελπις, ὁ γαρ βλεπει τις,
25 τι και ελπιζει? ει δε ὁ ου βλεπομεν, ελπιζομεν, δι' ὑπομονης απεκδεχομεθα.

